DIGITAL CHANT STAND
OF THE GREEK ORTHODOX ARCHDIOCESE OF AMERICA

# The Service of Vespers

**on Saturday Evening**
**for Sunday, May 15, 2022**

**Pentecostarion - Sunday of the Paralytic**
**on Saturday Evening at Vespers**

**Texts in Greek and English**

**Links to Vesperal Prayers**

**Bilingual**
dcs.goarch.org/goa/dcs/p/b/vespersordinary/vesperalprayers/gr-en/bk.vespersordinary.vesperalprayers.pdf

**English**
dcs.goarch.org/goa/dcs/p/b/vespersordinary/vesperalprayers/en/bk.vespersordinary.vesperalprayers.pdf

## Sources

[ AC ] Anthony Cook. [ GKD ] George K. Duvall. [ KW ] Kallistos Ware. [ RB ] Richard Barrett. [ SD ] Fr. Seraphim Dedes. [ TC ] Thomas Carroll. [ VPA ] Virgil Peter Andronache. [ GOA ] Greek Orthodox Archdiocese of America. [ HC ] Holy Cross Orthodox Press. [ OCA ] Orthodox Church in America.

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

## Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and are subject to change without notice at the discretion of the Greek Orthodox Archdiocese of America.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means—electronic, mechanical, recording, or otherwise—for the purpose of sale without the express written permission of the Greek Orthodox Archdiocese of America.

## GOA DCS Website

https://dcs.goarch.org

## Email

dcsinfo@goarch.org

## Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

This document was produced using the AGES Liturgical Workbench.

**Βιβλία - Πηγαί**

**Πεντηκοστάριον**

Κυριακὴ τοῦ Παραλύτου - Τῷ Σαββάτῳ Ἑσπέρας

**Books - Sources**

**Pentecostarion**

Sunday of the Paralytic - On Saturday Evening

---

## ΕΣΠΕΡΙΝΟΣ

## VESPERS

**ΙΕΡΕΥΣ**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

*Ἀπαγγελλομένου ἐπίσης τοῦ Προοιμιακοῦ, ὁ Ιερεὺς ἵσταται ἀσκεπὴς ἐνώπιον τῆς ἁγίας Τραπέζης ἢ καὶ ἐνώπιον τῆς εἰκόνος τοῦ Σωτῆρος Χριστοῦ, ιστάμενος ἐπὶ τοῦ Σολέα (ὡς ἐν τῷ Ὄρθρῳ), καὶ ἀναγινώσκει μυστικῶς τὰς Εὐχὰς τοῦ Λυχνικοῦ·*

**PRIEST**

Blessed is our God always, now and ever, and to the ages of ages.

*( Amen. )*

*While the Introductory Psalm is being read, the Priest with head uncovered stands in front of the holy Altar, or before the icon of Christ the Savior, standing on the Solea (as at Matins) and inaudibly reads the Vesperal Prayers.*

**ΙΕΡΕΥΣ**

**Ἦχος πλ. α΄.**

Τοῦ Πεντηκοσταρίου - - -

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**PRIEST**

**Mode pl. 1.**

From Pentecostarion - - -

Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs He has granted life. [GOA]

**ΧΟΡΟΣ**

**Ἦχος πλ. α΄.**

Τοῦ Πεντηκοσταρίου - - -

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**CHOIR**

**Mode pl. 1.**

From Pentecostarion - - -

Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs He has granted life. [GOA]

Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs He has granted life. [GOA]

**ΑΝΑΓΝΩΣΤΗΣ**

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Προϊμιακου Ψαλμοῦ.*

**Ψαλμὸς ΡΓ΄ (103).**

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων

**READER**

*It is appropriate for the congregation to stand for the reading of the Introductory Psalm.*

**Psalm 103 (104).**

Bless the Lord, O my soul. O Lord my God, You are magnified exceedingly; You clothe Yourself with thanksgiving and majesty, who cover Yourself with light as with a

τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γὴν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γήν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα· ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρύναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοίς. Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ

garment, who stretch out the heavens like a curtain; You are He who covers His upper chambers with water, who makes the clouds His means of approach, who walks on the wings of the winds, who makes His angels spirits and His ministers a flame of fire. He established the earth on its stable foundation; it shall not be moved unto ages of ages. The deep like a garment is His covering; the waters shall stand upon the mountains; at Your rebuke they shall flee; at the sound of Your thunder, they shall be afraid. The mountains rise up, and the plains sink down to the place You founded for them. You set a boundary they shall not pass over; neither shall they return to cover the earth. You are He who sends springs into the valley; the waters shall pass between the mountains; they shall give drink to all the wild animals of the field; the wild asses shall quench their thirst; the birds of heaven shall dwell beside them; they shall sing from the midst of the rocks. You are He who waters the mountains from His higher places; the earth shall be satisfied with the fruit of Your works. You are He who causes grass to grow for the cattle, and the green plant for the service of man, to bring forth bread from the earth; and wine gladdens the heart of man, to brighten his face with oil; and bread strengthens man's heart. The trees of the plain shall be full of fruit, the cedars of Lebanon, which You planted; there the sparrows shall make their nests; the house of the heron takes the lead among them. The high mountains are for the deer; the cliff is a refuge for the rabbits.

δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτή. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον, δόντος σου αὐτοῖς συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γήν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

He made the moon for seasons; the sun knows its setting. You established darkness, and it was night, wherein all the wild animals of the forest will prowl about; the young lions roar and snatch their prey, and seek their food from God. The sun arises, and they are gathered together; and they shall be put to bed in their dens. Man shall go out to his work and to his labor until evening. O Lord, Your works shall be magnified greatly; You made all things in wisdom; the earth was filled with Your creation. There is this great and spacious sea: the creeping things are there without number; the living things are there, both small and great; there the ships pass through; there is this dragon You formed to play therein. All things wait upon You, that You may give them food in due season. When You give it to them, they shall gather it; when You open Your hand, all things shall be filled with Your goodness. But when You turn Your face away, they shall be troubled; when You take away their breath, they shall die and return again to their dust. You shall send forth Your Spirit, and they shall be created, and You shall renew the face of the earth. Let the glory of the Lord be forever; the Lord shall be glad in His works; He looks upon the earth and makes it tremble; He touches the mountains, and they smoke. I will sing to the Lord all my life; I will sing to my God as long as I exist; may my words be pleasing to Him, and I shall be glad in the Lord. May sinners cease from the earth, and the lawless, so as to be no more. Bless the Lord, O my soul.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (ἐκ γ΄)

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

**ΔΙΑΚΟΝΟΣ**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

The sun knows its setting. You established darkness, and it was night.

O Lord, Your works shall be magnified greatly; You made all things in wisdom. [SAAS]

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

Alleluia. Alleluia. Alleluia. Glory to You, O God. (3)

Our hope, O Lord, glory to You.

**DEACON**

In peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the peace from above and for the salvation of our souls, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the peace of the whole world, for the stability of the holy churches of God, and for the unity of all, let us pray to the Lord.

*( Lord, have mercy. )*

For this holy house and for those who enter it with faith, reverence, and the fear of God, let us pray to the Lord.

*( Lord, have mercy. )*

For pious and Orthodox Christians, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our Archbishop (name), for the honorable presbyterate, for the diaconate in Christ, and for all the clergy and the people, let us pray to the Lord.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν γένους, τοῦ προέδρου καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει ἡμῶν, καὶ τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῆς Ἱερᾶς ἡμῶν Ἀρχιεπισκοπῆς, τῆς πόλεως καὶ κοινότητος ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἀπὸ τοῦ ἀπειλοῦντος ἡμᾶς λοιμοῦ τοῦ κορονοϊοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν κατὰ τῆς νόσου τοῦ κορονοϊοῦ ἀγωνιζομένων, ἰατρῶν, νοσηλευτῶν καὶ ἐπιστημόνων, τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

*( Lord, have mercy. )*

For our country, the president, all those in public service, and for our armed forces everywhere, let us pray to the Lord.

*( Lord, have mercy. )*

For the Great and Holy Church of Christ, for our Holy Archdiocese, for this city and parish, for every city and land, and for the faithful who live in them, let us pray to the Lord.

*( Lord, have mercy. )*

For favorable weather, for an abundance of the fruits of the earth, and for peaceful times, let us pray to the Lord.

*( Lord, have mercy. )*

For those who travel by land, sea, and air, for the sick, the suffering, the captives and for their salvation, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our deliverance from all affliction, wrath, danger and distress, and from the peril of the coronavirus against us, let us pray to the Lord.

*( Lord, have mercy. )*

For our brethren, those who lead the fight against the coronavirus, the doctors, the medical workers and the scientists, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( Σοί, Κύριε. )*

*( To You, O Lord. )*

**ΙΕΡΕΥΣ**

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*( Ἀμήν. )*

*( Amen. )*

**ΧΟΡΟΣ**

**Ἦχος γ΄.**

Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Εἰσάκουσόν μου, Κύριε.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

**CHOIR**

**Mode 3.**

Lord, I have cried to You; hear me. Hear me, O Lord. Lord, I have cried to You; hear me. Give heed to the voice of my supplication when I cry to You. Hear me, O Lord. [SAAS]

Let my prayer be set forth before You as incense, the lifting up of my hands as the evening sacrifice. Hear me, O Lord. [SAAS]

Set a watch, O Lord, before my mouth, a door of enclosure about my lips.

Incline not my heart to evil words, to make excuses in sins.

With men who work lawlessness; and I will not join with their choice ones.

The righteous man shall correct me with mercy, and he shall reprove me; but let not the oil of the sinner anoint my head.

For my prayer shall be intense in the presence of their pleasures. Their judges are swallowed up by the rock.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν· ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σέ, Κύριε εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

## Στιχηρὰ Ἀναστάσιμα. Ἦχος γ΄.

Τῆς Ὀκτωήχου - - -

### Στιχηρὸν Α΄.

*Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.*

Τῷ σῷ σταυρῷ Χριστὲ Σωτήρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται, γένος δὲ ἀνθρώπων πίστει σῳζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

They shall hear my words, for they are pleasant. As a clod of ground is dashed to pieces on the earth, so their bones were scattered beside the grave.

For my eyes, O Lord, O Lord, are toward You; in You I hope; take not my soul away.

Keep me from the snares they set for me, and from the stumbling blocks of those who work lawlessness.

Sinners shall fall into their own net; I am alone, until I escape.

I cried to the Lord with my voice, with my voice I prayed to the Lord.

I shall pour out my supplication before Him; I shall declare my affliction in His presence.

When my spirit fainted within me, then You knew my paths.

For on the way I was going, they hid a trap for me.

I looked on my right, and saw there was no one who knew me.

Refuge failed me, and there was no one who cared for my soul.

I cried to You, O Lord; I said, "You are my hope, my portion in the land of the living."

Attend to my supplication, for I was humbled exceedingly.

Deliver me from my persecutors, for they are stronger than I.

## Resurrectional Stichera. Mode 3.

From Octoechos - - -

### Sticheron 1.

*Bring my soul out of prison to give thanks to Your name, O Lord.* [SAAS]

Your cross, Christ Savior, has destroyed the power of death and has abolished the deception of the devil. Therefore mankind saved by faith, offers you hymns of praise forever. [HC]

**Στιχηρὸν Β΄.**

*Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.*

Πεφώτισται τὰ σύμπαντα, τῇ ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται, πᾶσα δὲ ἡ κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

**Sticheron 2.**

*The righteous shall wait for me, until You reward me.* [SAAS]

All of creation has been enlightened by your resurrection, O Lord, and paradise has once again been opened. Therefore, all creation extols you and offers hymns of praise forever. [HC]

**Στιχηρὸν Γ΄.**

*Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.*

Δοξάζω τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος ἁγίου, ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

**Sticheron 3.**

*Out of the depths I have cried to You, O Lord; O Lord, hear my voice.* [SAAS]

I glorify the might of the Father and the Son and the power of the Holy Spirit, the undivided, uncreated Godhead, the consubstantial Trinity that reigns to the ages of ages. [HC]

**Στιχηρὸν Δ΄.**

*Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.*

Τὸν Σταυρόν σου τὸν τίμιον, προσκυνοῦμεν Χριστέ, καὶ τὴν ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν· τῷ γὰρ μώλωπί σου, ἡμεῖς οἱ πάντες ἰάθημεν.

**Sticheron 4.**

*Let Your ears be attentive to the voice of my supplication.* [SAAS]

We worship your precious cross, O Christ, and praise and glorify your resurrection, for by your wounds we have all been healed. [HC]

**Στιχηρὸν Ε΄.**

*Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.*

Ὑμνοῦμεν τὸν Σωτῆρα, τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα· δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

**Sticheron 5.**

*If You, O Lord, should mark transgression, O Lord, who would stand? For there is forgiveness with You.* [SAAS]

We praise the Savior who took flesh from the Virgin, for he was crucified for our sake and rose on the third day, bestowing on us his great mercy. [HC]

**Στιχηρὸν Ϛ΄.**

*Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.*

Τοῖς ἐν ᾅδῃ καταβὰς Χριστὸς εὐηγγελίσατο, θαρσεῖτε λέγων, νῦν νενίκηκα. Ἐγὼ ἡ Ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω, λύσας θανάτου τὰς πύλας.

**Sticheron 6.**

*Because of Your law, O Lord, I waited for You; my soul waited for Your word. My soul hopes in the Lord.* [SAAS]

Going down to those in Hades, Christ gave them the good news saying: Take courage, I am now triumphant. I am the resurrection. I shall lead you forth, for I have broken the gates of death. [HC]

**Στιχηρὸν Ζ΄.**

*Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.*

Οἱ ἀναξίως ἑστῶτες, ἐν τῷ ἀχράντῳ σου οἴκῳ, ἑσπερινὸν ὕμνον ἀναμέλπομεν, ἐκ βαθέων κραυγάζοντες· Χριστὲ ὁ Θεός, ὁ φωτίσας τὸν κόσμον τῇ τριημέρῳ Ἀναστάσει σου, ἐξελοῦ τὸν λαόν σου, ἐκ χειρὸς τῶν εχθρῶν σου Φιλάνθρωπε.

**Sticheron 7.**

*From the morning watch until night; from the morning watch until night, let Israel hope in the Lord.* [SAAS]

We who are unworthy to stand in your immaculate house send up to you our evening hymn, O Christ our God, and call upon you from the depths to deliver your people from the hands of their adversaries. You have enlightened the world by your third day resurrection, O loving God. [HC]

**Τοῦ Παραλύτου.**

Τοῦ Πεντηκοσταρίου - - -

**Ἰδιόμελον. Ἦχος α΄.**

*Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.*

Ὁ τῇ παλάμῃ τῇ ἀχράντῳ, πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε, τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ, τὸν Παράλυτον ἐν τῇ Προβατικῇ κολυμβήθρᾳ, διὰ τοῦ λόγου σου ἀνέστησας. Αἱμόῤῥου δὲ τὸ ἄλγος ἐθεράπευσας, τῆς Χαναναίας τὴν παῖδα ἐνοχλουμένην ἐλέησας, καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες· διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε, δόξα σοι.

**For the Paralytic.**

From Pentecostarion - - -

**Idiomelon. Mode 1.**

*For with the Lord there is mercy, and with Him is abundant redemption; and He shall redeem Israel from all his transgressions.* [SAAS]

As the One who fashioned humanity in Your immaculate hand, You came to cure the sick, O compassionate Christ. By Your word You raised the Paralytic at the Sheep Pool, and You cured the suffering of the woman with the flow of blood; You had mercy on the troubled daughter of the Canaanite woman, and You did not ignore the request of the Centurion.

Therefore we cry out to You: O almighty Lord, glory to You. [SD]

**Ἰδιόμελον. Ἦχος α´.**

*Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.*

Ὁ τῇ παλάμῃ τῇ ἀχράντῳ, πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε, τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ, τὸν Παράλυτον ἐν τῇ Προβατικῇ κολυμβήθρᾳ, διὰ τοῦ λόγου σου ἀνέστησας. Αἱμόῤῥου δὲ τὸ ἄλγος ἐθεράπευσας, τῆς Χαναναίας τὴν παῖδα ἐνοχλουμένην ἐλέησας, καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες· διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε, δόξα σοι.

**Idiomelon. Mode 1.**

*Praise the Lord, all you Gentiles; praise Him, all you peoples.* [SAAS]

As the One who fashioned humanity in Your immaculate hand, You came to cure the sick, O compassionate Christ. By Your word You raised the Paralytic at the Sheep Pool, and You cured the suffering of the woman with the flow of blood; You had mercy on the troubled daughter of the Canaanite woman, and You did not ignore the request of the Centurion. Therefore we cry out to You: O almighty Lord, glory to You. [SD]

**Ἰδιόμελον. Ἦχος α´.**

*Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.*

Ἄταφος νεκρὸς ὑπάρχων ὁ Παράλυτος, ἰδών σε ἐβόησεν· Ἐλέησόν με Κύριε, ὅτι ἡ κλίνη μου τύμβος μοι ἐγένετο. Τί μοι κέρδος ζωῆς; οὐ χρῄζω τῆς Προβατικῆς κολυμβήθρας· οὐ γὰρ ἐστί μοι τίς ὁ ἐμβάλλων με, ταραττομένων τῶν ὑδάτων· ἀλλὰ σοὶ τῇ πηγῇ προσέρχομαι τῶν ἰαμάτων, ἵνα κᾀγὼ μετὰ πάντων κράζω· Παντοδύναμε Κύριε, δόξα σοι.

**Idiomelon. Mode 1.**

*For His mercy rules over us; and the truth of the Lord endures forever.* [SAAS]

The Paralytic was like a dead man who had not been buried. When he saw You he cried aloud, "Have mercy on me, O Lord; for my bed has become a tomb for me. What gain is there for me to live? I have no use for the Sheep Pool, since I have no one who will put me in when the waters are troubled. But I come to You, the source of cures, so that with everyone else I too may cry out, 'O almighty Lord, glory to You.'" [SD]

Δόξα.

Τοῦ Πεντηκοσταρίου - - -

**Ἦχος πλ. α´.**

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ· ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν

Glory.

From Pentecostarion - - -

**Mode pl. 1.**

Jesus went up to Jerusalem, to the pool by the Sheep Gate, which was called Bethesda by the Jews. It had five porticoes, and in these there lay a multitude of the sick. For at certain

ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ, κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. Καὶ ἰδὼν ὁ Κύριος χρονιοῦντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν· Ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασιν.

seasons, an Angel of God would go down into the pool and stir it up, and then good health would be granted to those who approached with faith. Now the Lord saw a man who had been sick for many years, and He said to him, "Do you want to be healed?" And the sick man replied, "Sir, I have no one to put me into the pool when the water is stirred up. I have spent all my livelihood on physicians, and no mercy has been afforded me." Then the Physician of souls and bodies said to him, "Take up your bed and walk. Proclaim my power and great mercy to the ends of the earth." [SD]

Καὶ νῦν. **Ἦχος γʹ.**

Τῆς Ὀκτωήχου - - -

**Τὸ αʹ Θεοτοκίον τοῦ Ἤχου.**

Πῶς μὴ θαυμάσωμεν, τὸν θεανδρικόν σου Τόκον Πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρός γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα, σώαν φυλάξαντα. Διὸ Μητροπάρθενε Δέσποινα, αὐτόν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Both now. **Mode 3.**

From Octoechos - - -

**The First Theotokion of the Mode.**

How can we not marvel at your theandric childbirth, O most reverend Maid? For while having had no spousal congress, all-blameless one, you gave birth unto a Son unfathered in the flesh, Who had, unmothered, been begotten of the Father before all ages. He in no way underwent any change, intermingling or division; but He preserved each nature's distinct identity in its totality. Therefore, O Virgin Mother and Lady, entreat Him for the salvation of the souls of those confessing you, in Orthodox manner, to be Theotokos. [SD]

*Ὁ λαὸς ἵσταται διὰ τὴν Εἴσοδον.*

*It is appropriate for the congregation to stand for the Entrance.*

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Τοῦ Κυρίου δεηθῶμεν.

**DEACON** *(in a low voice)*

Let us pray to the Lord.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

**ΕΥΧΗ ΤΗΕ ΕΙΣΟΔΟΥ**

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας, αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά σου, Δέσποτα τῶν

**PRIEST** *(in a low voice)*

**Entrance Prayer**

At nightfall, dawn and noon, we sing to You, we bless You, we give thanks to You, and we beseech You, Master of

ἁπάντων, Φιλάνθρωπε, Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

all, Lord and lover of mankind: guide our prayers aright as an offering of incense before You. Let not our hearts be led to wicked thoughts or words, but deliver us all from those who pursue our souls. For it is on You, Lord, Lord, that our eyes are fixed, and in You that we have our hope; do not put us to shame, O our God.

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί.

**DEACON**

Wisdom. Arise.

**ΚΛΗΡΟΣ ΚΑΙ ΛΑΟΣ**

**Ἦχος β΄.**

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

**CLERGY AND PEOPLE**

**Mode 2.**

Gladsome light of holy glory of the holy, blessed, heavenly, immortal Father, O Jesus Christ: arriving at the hour of sunset and having seen the evening light, we praise the Father, Son, and Holy Spirit, God. It is worthy for You to be praised at all times with happy voices, O Son of God and Giver of life; * and therefore the world glorifies You. [SD]

**ΔΙΑΚΟΝΟΣ**

Ἑσπέρας Προκείμενον.

**DEACON**

The evening Prokeimenon.

**ΧΟΡΟΣ**

**Προκείμενον. Ἦχος πλ. β΄.**

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

**Στίχ.** *Ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.*

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

**Στίχ.** *Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.*

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

**CHOIR**

**Prokeimenon. Mode pl. 2.**

The Lord reigns; He clothed Himself with majesty. [SAAS]

**Verse:** *The Lord clothed and girded Himself with power.*

The Lord reigns; He clothed Himself with majesty.

**Verse:** *And He established the world, which shall not be moved.*

The Lord reigns; He clothed Himself with majesty.

**ΔΙΑΚΟΝΟΣ**

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

*( Κύριε, ἐλέησον. )*

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

*( Κύριε, ἐλέησον. )*

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

**DEACON**

Let us all say with all our soul and with all our mind, let us all say.

*( Lord, have mercy. )*

Lord almighty, God of our fathers, we pray You, hear us and have mercy.

*( Lord, have mercy. )*

Have mercy on us, O God, according to Your great mercy, we pray You, hear us and have mercy.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Let us pray for pious and Orthodox Christians.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Again we pray for our Archbishop (name).

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Again we pray for our brethren: the priests, the hieromonks, the hierodeacons, the monastics, and all our brotherhood in Christ.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Again we pray for mercy, life, peace, health, salvation, protection, forgiveness, and remission of the sins of the servants of God, all pious Orthodox Christians residing and visiting in this city: the parishioners, the members of the parish council, the stewards, and benefactors of this holy church.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

**ΙΕΡΕΥΣ**

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τῆς εὐχῆς.*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Again we pray for the blessed and ever-memorable founders of this holy church, and for all our fathers and brethren who have fallen asleep before us, who here have been piously laid to their rest, as well as the Orthodox everywhere.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

Again we pray for those who bear fruit and do good works in this holy and all-venerable church, for those who labor and those who sing, and for the people here present who await Your great and rich mercy.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

**PRIEST**

For You are a merciful God Who loves mankind, and to You we offer up glory, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

*It is appropriate for the congregation to stand for the reading of prayer.*

**READER**

O Lord, keep us this evening without sin. Blessed are you, O Lord, God of our fathers, and praised and glorified is your name to the ages. Amen. O Lord, let your mercy be upon us for we have set our hope in you. Blessed are you, O Lord, teach me your commandments. Blessed are you, Master, grant me understanding of your commandments. Blessed are you, Holy One, enlighten me with your commandments. Lord, your mercy is

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

forever. Do not despise the works of your hands. To you is due praise, to you is due song, to you is due glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages. [HC]

*( Ἀμήν. )*

*( Amen. )*

**ΔΙΑΚΟΝΟΣ**

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

**DEACON**

Let us complete our evening prayer to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

That the whole evening may be perfect, holy, peaceful, and sinless, let us ask the Lord.

*( Grant this, O Lord. )*

For an angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask the Lord.

*( Grant this, O Lord. )*

For pardon and remission of our sins and transgressions, let us ask the Lord.

*( Grant this, O Lord. )*

For that which is good and beneficial for our souls, and for peace for the world, let us ask the Lord.

*( Grant this, O Lord. )*

That we may complete the remaining time of our life in peace and repentance, let us ask the Lord.

*( Grant this, O Lord. )*

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

*( Παράσχου, Κύριε. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ**

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*( Καὶ τῷ πνεύματί σου. )*

**ΔΙΑΚΟΝΟΣ**

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλῖνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

And let us ask for a Christian end to our life, peaceful, without shame and suffering, and for a good defense before the awesome judgment seat of Christ.

*( Grant this, O Lord. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST**

For You, O God, are good and love mankind, and to You we offer glory, to the Father and to the Son and to the Holy Spirit, now and forever, and to the ages of ages.

*( Amen. )*

**PRIEST**

Peace be with all.

*( And with your spirit. )*

**DEACON**

Let us bow our heads to the Lord.

*( To You, O Lord. )*

**PRIEST** *(in a low voice)*

Lord our God, You inclined the heavens and descended for the salvation of humankind. Look on Your servants and Your inheritance. For they have bowed their heads and bent their necks to You the awesome yet compassionate Judge, not looking for human help but awaiting Your mercy and in expectation of Your redemption. Preserve them at all times and during this evening and the impending night, from every enemy, from all opposing demonic activity, from vain thoughts and evil dreams.

**ΙΕΡΕΥΣ**

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Ἀπόστιχα Ἀναστάσιμα.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος γ΄.**

Ὁ τῷ πάθει σου Χριστέ, ἀμαυρώσας τὸν ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον Φιλάνθρωπε.

Τοῦ Πεντηκοσταρίου - - -

**Στιχηρὰ τοῦ Πάσχα.**

**Ἦχος πλ. α΄.**

**Στίχ. α΄.** *Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.*

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, Ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής. Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.

**Στίχ. β΄.** *Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.*

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ,

**PRIEST**

May the might of Your kingdom be blessed and glorified, of the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Resurrectional Aposticha.**

From Octoechos - - -

**Mode 3.**

By your passion, O Christ, you have darkened the sun. By your resurrection, you have given all things light. Accept our evening hymn, O lover of mankind. [HC]

From Pentecostarion - - -

**Stichera of Pascha.**

**Mode pl. 1.**

**Verse 1:** *Let God arise, and let His enemies be scattered, and let those who hate Him flee from before His face.*

Today a sacred Pascha has been revealed to us; a Pascha new and holy, a Pascha mystical, a Pascha all-venerable, Pascha, the Redeemer Christ himself; a Pascha that is blameless, a Pascha that is great, a Pascha of believers, a Pascha that has opened for us the gates of Paradise, a Pascha that sanctifies believers all. [SD]

**Verse 2:** *As smoke vanishes, so let them vanish, as wax melts before the fire.*

Come now from that sight, O you women and heralds of good news, and say to Zion, "Receive from us the joyful tidings of the Resurrection of Christ. O Jerusalem, be

τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

exultant, dance and leap for joy, for you have witnessed Christ the King coming forth as a Bridegroom from the sepulcher." [SD]

**Στίχ. γ΄.** *Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.*

**Verse 3:** *So shall the sinners perish from the face of God. And let the righteous be glad.*

Αἱ μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ Μαθηταῖς.

The myrrh-bearing women at dawn very early, standing outside the tomb of the Giver-of-Life, found an Angel who was seated upon the stone. And the Angel addressed them, and this is what he said, "Why do you seek among the dead the One who is alive? Why do you grieve as though corruptible the Incorrupt? So go back and proclaim it to His Disciples." [SD]

**Στίχ. δ΄.** *Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.*

**Verse 4:** *This is the day the Lord made; let us greatly rejoice and be glad therein.*

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου, Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὢ Πάσχα, λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Pascha of delight! Pascha, the Lord's Pascha! A Pascha all venerable has risen for us. Pascha! With joy let us embrace one another. Pascha, the ransom from sorrow! Today from the sepulcher Christ emerged resplendently as from a bridal chamber, and the women He filled with joy, saying, "Proclaim this to the Apostles." [SD]

Δόξα.

Τοῦ Πεντηκοσταρίου - - -

**Ἦχος πλ. δ΄.**

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων, καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἐτῶν παράλυτον κείμενον, δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ

Glory.

From Pentecostarion - - -

**Mode pl. 4.**

In the Portico of Solomon, there lay a multitude of invalids. And midway into the feast, Christ found a man lying there who had been paralyzed for thirty-eight years. And speaking as the Master, He says to him, "Do you want to be made well?" And in response the invalid says to Him, "Lord, I have no man

ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν, ὁ δὲ λέγει πρὸς αὐτόν· Ἆρόν σου τὴν κλίνην, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

to put me into the pool when the water is troubled." Then Jesus says to him, "Take up your pallet. See, you are well; sin no more." At the intercession of the Theotokos, O Lord, send down to us the great mercy. [SD]

Καὶ νῦν. **Τοῦ Πάσχα.**

Τοῦ Πεντηκοσταρίου - - -

**Ἦχος πλ. α΄.**

Both now. **Of Pascha.**

From Pentecostarion - - -

**Mode pl. 1.**

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

It is the day of the Resurrection. Let us shine brightly for the festival, and also embrace one another. Brethren, let us say even to those who hate us, "Let us forgive everything for the Resurrection." And thus let us cry aloud, "Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs He has granted life." [SD]

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τῶν εὐχῶν.*

*It is appropriate for the congregation to stand for the reading of prayers*

**ΙΕΡΕΥΣ**

**Ὠδὴν τοῦ Θεοδόχου Συμεών.**

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

**PRIEST**

**Song of Simeon.**

Lord, now You are letting Your servant depart in peace, according to Your word; for my eyes have seen Your salvation which You have prepared before the face of all peoples. A light to bring revelation to the Gentiles, and the glory of Your people Israel. [NKJV]

**ΛΑΟΣ**

**Τρισάγιον.**

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα,

**PEOPLE**

**Trisagion Prayers.**

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

All-holy Trinity, have mercy on us. Lord, forgive our sins. Master, pardon our

συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**ΙΕΡΕΥΣ**

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

Τῆς Ὀκτωήχου - - -

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος γ΄.**

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

transgressions. Holy One, visit and heal our infirmities for Your name's sake.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy.

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

Our Father, who art in heaven, hallowed be Thy name. Thy kingdom come, Thy will be done, on earth as it is in heaven. Give us this day our daily bread; and forgive us our trespasses, as we forgive those who trespass against us. And lead us not into temptation, but deliver us from evil.

**PRIEST**

For Thine is the Kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

From Octoechos - - -

**Resurrectional Apolytikion.**

**Mode 3.**

Let the heavens sing for joy, and let everything on earth be glad. For with His arm the Lord has worked power. He trampled death under foot by means of death; and He became the firstborn from the dead. From the maw of Hades He delivered us; and He granted the world His great mercy. [SD]

Δόξα· καὶ νῦν. **Θεοτοκίον.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος γ΄.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Glory. Both now. **Theotokion.**

From Octoechos - - -

**Mode 3.**

Unto you who mediated the salvation of our race we sing praises, O Virgin Theotokos. For your Son and our God in the flesh that He assumed from you accepted suffering by means of crucifixion and has thereby set us free from corruption, in His love for man. [SD]

**ΙΕΡΕΥΣ**

Σοφία.

*( Εὐλόγησον. )*

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *( Ἀμήν. )*

**PRIEST**

Wisdom.

*( Father, bless! )*

Blessed are You, Christ our God, always now and forever and to the ages of ages. *( Amen. )*

**ΠΡΟΕΣΤΩΣ ἢ ΑΝΑΓΝΩΣΤΗΣ**

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ αὐτοῦ Μεγάλῃ Εκκλησίᾳ, τῇ ἱερᾷ ἡμῶν Ἀρχιεπισκοπῇ, [τῇ ἱερᾷ Μητροπόλει ταύτῃ] καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

*( Ἀμήν. )*

**HIERARCH or READER**

The Lord God make firm the holy and pure faith of the pious Orthodox Christians, together with the Holy Great Church of Christ, our holy Archdiocese, [this holy Metropolis,] and this city, to the ages of ages..

*( Amen. )*

**ΙΕΡΕΥΣ**

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων

**PRIEST**

Glory to You, O Christ our God. Glory to You.

May He who rose from the dead, Christ our true God, through the intercessions of His all-pure and all-immaculate holy Mother, the power of the precious and life-giving Cross, the protection of the honorable, bodiless powers of heaven, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, of the holy, glorious, and praiseworthy apostles, of the holy, glorious, and triumphant martyrs, of our righteous and God-bearing fathers, (local patron saint);

θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

of the holy and righteous ancestors of God Joachim and Anna, and of all the saints, have mercy on us and save us, for He is good and merciful and loves mankind.

*Κατὰ τὸ Παρτριαρχικὸν Ἡμερολόγιον:*

*According to the Patriarchal Hemerologion:*

**ΙΕΡΕΥΣ**

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

**PRIEST**

Through the prayers of our holy fathers, Lord Jesus Christ, our God, have mercy on us and save us.

*( Ἀμήν. )*

*( Amen. )*

*ἤ·*

*or:*

*Σύμφωνα μέ τὴν κρατοῦσαν συνήθειαν:*

*According to common practice:*

**ΙΕΡΕΥΣ**

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**PRIEST**

Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs He has granted life.

**ΛΑΟΣ**

Ἀληθῶς ἀνέστη ὁ Κύριος.

**PEOPLE**

Truly the Lord is risen!